ἐπ᾽ Ἐκβατάνων κύκλῳ τείχη ἐκ λίθων λελαξευμένων εἰς πλάτος
πηχῶν τριῶν καὶ εἰς μῆκος πηχῶν ἓξ καὶ ἐποίησεν τὸ ὕψος τοῦ
τείχους πηχῶν ἑβδομήκοντα καὶ τὸ πλάτος αὐτοῦ πηχῶν πεντή-
3 κοντα [3]καὶ τοὺς πύργους αὐτοῦ ἔστησεν ἐπὶ ταῖς πύλαις αὐτῆς
πηχῶν ἑκατὸν καὶ τὸ πλάτος αὐτῆς ἐθεμελίωσεν εἰς πήχεις ἑξή-
4 κοντα [4]καὶ ἐποίησεν τὰς πύλας αὐτῆς πύλας διεγειρομένας εἰς ὕψος
πηχῶν ἑβδομήκοντα καὶ τὸ πλάτος αὐτῆς πήχεις τεσσαράκοντα εἰς
ἐξόδους δυνάμεως δυνατῶν αὐτοῦ καὶ διατάξεις τῶν πεζῶν αὐτοῦ.
5 [5]καὶ ἐποίησεν πόλεμον ἐν ταῖς ἡμέραις ἐκείναις ὁ βασιλεὺς Ναβου-
χοδονοσορ πρὸς βασιλέα Αρφαξαδ ἐν τῷ πεδίῳ τῷ μεγάλῳ, τοῦτό
6 ἐστιν πεδίον ἐν τοῖς ὁρίοις Ραγαυ. [6]καὶ συνήντησαν πρὸς αὐτὸν
πάντες οἱ κατοικοῦντες τὴν ὀρεινὴν καὶ πάντες οἱ κατοικοῦντες τὸν
Εὐφράτην καὶ τὸν Τίγριν καὶ τὸν Ὑδάσπην καὶ πεδία Αριωχ βα-
σιλέως Ἐλυμαίων, καὶ συνῆλθον ἔθνη πολλὰ εἰς παράταξιν υἱῶν
7 Χελεουδ. [7]καὶ ἀπέστειλεν Ναβουχοδονοσορ βασιλεὺς Ἀσσυρίων ἐπὶ
πάντας τοὺς κατοικοῦντας τὴν Περσίδα καὶ ἐπὶ πάντας τοὺς κατοι-
κοῦντας πρὸς δυσμαῖς, τοὺς κατοικοῦντας τὴν Κιλικίαν καὶ Δαμα-
σκὸν καὶ τὸν Λίβανον καὶ Ἀντιλίβανον, καὶ πάντας τοὺς κατοικοῦν-
8 τας κατὰ πρόσωπον τῆς παραλίας [8]καὶ τοὺς ἐν τοῖς ἔθνεσι τοῦ
Καρμήλου καὶ Γαλααδ καὶ τὴν ἄνω Γαλιλαίαν καὶ τὸ μέγα πεδίον
9 Εσδρηλων [9]καὶ πάντας τοὺς ἐν Σαμαρείᾳ καὶ ταῖς πόλεσιν αὐτῆς
καὶ πέραν τοῦ Ιορδάνου ἕως Ιερουσαλημ καὶ Βατανη καὶ Χελους
καὶ Καδης καὶ τοῦ ποταμοῦ Αἰγύπτου καὶ Ταφνας καὶ Ραμεσση καὶ
10 πᾶσαν γῆν Γεσεμ [10]ἕως τοῦ ἐλθεῖν ἐπάνω Τάνεως καὶ Μέμφεως
καὶ πάντας τοὺς κατοικοῦντας τὴν Αἴγυπτον ἕως τοῦ ἐλθεῖν ἐπὶ τὰ
11 ὅρια τῆς Αἰθιοπίας. [11]καὶ ἐφαύλισαν πάντες οἱ κατοικοῦντες πᾶσαν

2 επ εκβατανων] εκβατανα S*L† | κυκλω] pr. και BS*, pr. και περιεβαλεν αυτη L† | υψος] μηκος A | και ult. — fin. > S*† | πεντηκοντα] εβδομηκ. A† || 3 αυτου] -της S | εστησεν] pr. κατ S† || 4 διεγηγερμενας S* | εβδομηκοντα] εξηκ. S† | πηχεις] -χεων S 58†, -χων L† | εξοδον S* 58† | δυναμεως(A -ων: cf. inf.) — fin.] των αρματων αυτων S*†, δυναμεως(S$^{c}$ -ων) δυνατων αυτου και αρματων αυτου και εις διαταξεις των πεζων αυτου LS$^{c}$† | διαταξεις] pr. αι B, pr. εις 58 LS$^{c}$† (cf. sup.) || 5 ο > BS 58† | πεδιον εν > B†, πεδιον > L | εν τοις ορ. > S† || 6 προς αυτον] εις πολεμον S* 58†, προς αυτον εις πολ. LS$^{c}$† | κατοικουντες 1$^{0}$ ⌒ 2$^{0}$ S*† | πε(uel παι)δια] pr. τα LS$^{s}$† (S*† om. και πεδια), πεδιω B†, πεδιον mu. | αριωχ] αριασε S*† | βασιλεως S*L] ο -λευς BAS$^{c}$ | συνηλθον] -ηχθησαν S 58† | χελεουδ] -ουλ B†, χεσλαιουδα S*† || 7 κατοικουντας 1$^{0}$ — αντιλιβανον] κατοικ. ιαμνιαν και επι παντας τους κατοικουντας κιλικιαν και λιβανον S*†, quae S$^{c}$ ex parte ad textum uulgarem adaptauit; ad S*† cf. L† και τους κατοικουντας ιαμν(ε)ιαν post κιλικιαν addens | την 1$^{0}$ > A†, 2$^{0}$ > A (cf. S) | και 4$^{0}$ > B† | τον > A (cf. S) | της > B† || 8 εσδρηλων S†] εσδρημ A, εσρρημ B†; cf. 3 9 4 6 7 3 || 9 εως] + εις S*† | βατανη S†] -νης L†, -νων compl., βαιτανη B†, βλιτανη A† | χεσλους S† | του ποτ.] τους χιμαρρους S† | γην] την S || 10 εως τ. ελθειν 1$^{0}$ ⌒ 2$^{0}$ S*† || 11 πασαν / την γην] tr. S*, πασαν > S$^{c}$